A καὶ αὖθις τετράμετροι καταληκτικοὶ πέντε. ἄλλοι στίχοι μικτοὶ δέκα. καὶ πάλιν τετράμετροι ὅμοιοι τοῖς πρώτοις. οἷς ἕπονται ἄλλοι στίχοι μικτοί. καὶ οἱ ἑξῆς, τετράμετροι, ὧν ὁ τελευταῖος τοῦ νῦν παρεστῶτος θράσους θέσθαι τρόπαιον ἡμᾶς. ὁ δὲ τῶν πρεσβυτέρων χορὸς αἰσθόμενος τῆς ὀλολυγῆς ἣν αἱ γυναῖκες τὴν ἀκρόπολιν καταλαβοῦσαι ἐποίουν πρὸς τὴν βοήθειαν ἀλλήλους προτρέπουσι. καὶ πρὸς τὴν τῆς ἀκροπόλεως πολιορκίαν αὐτοὺς παρασκευάζουσιν, ὅπως τὸ καταληφθὲν χωρίον ἀπολάβωσι, καὶ τὰς γυναῖκας ἐκεῖθεν ἐξωθῶσι. ξύλα δὲ καὶ φρύB γανα, καὶ πῦρ φέρουσιν. ἵνα τὰς ἀκροπόλεως πύλας καίωσι, καὶ κατὰ κράτος αὐτὴν αἱρῶσιν. ἀλλ' αἱ γυναῖκες τὴν πολιορκίαν, τὰς ἐπιχειρήσεις καὶ βιαίας τούτων ὁρμὰς ἀνδρείως ἀνεδέξαντο, καὶ τοὺς ἄνδρας γενναίως ἀπεκρούσαντο. αὕτη δὲ τῆς πολιορκίας, καὶ πολεμικῆς παρασκευῆς θέα, μεγίστην τοῖς θεωμένοις ἡδονὴν παρέχει. χώρει δὲ, βάδιζε. πορεύου. ἡγοῦ, ἡγεμόνευε, πρῶτος ἴθι. κορμὸς δὲ, κατὰ τὸν Ἡσύχιον, πλάτη. ὅ ἐστιν εἶδος πλοίου. ἀπὸ τοῦ εἰς ὀλίγον κεκορμᾶσθαι. καὶ ἕδρα. καὶ κώπη, καὶ τὸ εἰς βραχὺ συντετμημένον ξύλον. ὅπερ ἐνταῦθα νοητέον. ὅθεν τὸ ῥῆμα κορC μάζειν, τὸ τέμνειν. καὶ σύνθετον, κατακορμάζειν, κατακόπτειν. Η πόλλ' ἄελπτα] τῷ ὄντι ἐν τῷ μακρῷ βίῳ, πολλά ἐστιν ἄελπτα. τούτοις παραπλήσιον τὸ τοῦ Εὐριπίδου, ἐπὶ τῷ τέλει τῆς Μηδείας,

Πολλῶν ταμίας Ζεὺς ἐν Ὀλύμπῳ.
Πολλὰ δ' ἀέλπτως κραίνουσι θεοί.
Καὶ τὰ δοκηθέντ' οὐκ ἐπετελέσθη.
Τῶν ἀδοκήτων δὲ πόρον εὗρε θεός. M.X.

Τοιόνδ' ἀπέβη τόδε πρᾶγμα. καὶ Σοφ. ἐν Αἴαντι μαστιγ. Η πολλὰ βροτοῖς ἔστιν ἰδοῦσι; Γνῶναι. πρὶν ἰδεῖν δ', οὐδεὶς μάντις τῶν μελλόντων ὅ, τι πράξει. Κατὰ μὲν ἅγιον] τμῆσις. ἀντὶ τοῦ κατέχειν μὲν ἅγιον βρέτας. τουτέστι τὸ ἄγαλμα τοῦ θεοῦ. βρέτας γὰρ κατὰ Σουίδαν δηλοῖ τὸ εἴδωλον, τὸ ἄγαλμα. παρὰ τὸ ἐοικέναι βροτῷ. κατὰ τὴν ἀκρόπολιν B λαβεῖν. τμῆσις, ὡς καὶ ἄνω. ἀντὶ τοῦ καταλαβεῖν τε τὴν ἀκρόπολιν. Καὶ κλήθροισιν] κλείσμασι. κλεῖθρον δὲ, καὶ κλῇθρον, καὶ κλῆθρον παρὰ τὴν κλῆδα, εἴτε κλεῖδα λέγεται. καὶ κλεῖδες, καὶ κληῖδες, καὶ κλῆδες. τὰ προπύλαια δὲ, τὰ πρόθυρα. πακτοῦν δὲ, κλείειν, ἀσφαλίζεσθαι. Σ. Εὐστ. τὰ πρέμνα. πρέμνον, στέλεχος, βλαστὸς, πᾶν ῥίζωμα δένδρου τὸ γηράσκον. Σ. Ησ.

CHR. Η πολλ' ἄελπτ' ἐστίν.] Ex Euripide omnino sumptum, qui multas hac sententia fabu- C las clausit. Ω Φιλοῦργε.] Philurgus prodigus cùm esset, tamen deprehensus est in sacrilegio, & Gorgonem Palladis abstulit vt ait Isocrates. Huius etiam meminit Æschines.

Ὅπως ἂν αὐτοῦ ἐν κύκλῳ θέντες τὰ πρέμνα ταυτί
Ὅσαι τὸ πρᾶγμα τοῦτ' ἐνεστήσαντο καὶ μετῆλθον
Μίαν πυρὰν νήσαντες ἐμπρήσωμεν αὐτόχειρες
D Πάσας. ὑπὸ ψήφου μιᾶς. πρώτην δὲ τὴν Λύκωνος.
Οὐ γὰρ μὰ τὴν Δήμητρ' ἐμοῦ
Ζῶντος ἐγχανοῦνται.
Ἐπεὶ οὐδὲ Κλεομένης ὃς αὐτὴν κατέσχε πρῶτος
Ἀπῆλθεν ἀψάλακτος. ἀλλ'
Ὅμως Λακωνικὸν πνέων
E Ὤχετ' ὅπλα παραδοὺς ἐμοί
Σμικρὸν ἔχων πάνυ τριβώνιον.
Πινῶν. ῥυπῶν. ἀπαράτιλτος.

*Vt trunca in orbem robora ista nostra collocantes*
*Pyram aggregemus fœminis quotquot negotium istud*
*Nobis facessunt, propriáque nos manu crememus*
*Omnes & ordine vno, & imprimis Lyconis illam.*
*Nam me, Ecere, ludibrio*
*Non videntem habebunt.*
*Nec enim ipse Cleomenes ea*
*Qui prius potitus*
*Inultum id abstulit: tamen*
*Laconicè superbiens*
*Cessit, armáque dedit mihi*
*Palliolum tolerans scissile*
*Impexus, inluuie & squale*

CH. Ὅσαι τὸ πρᾶγμα] ὁ νοῦς. τούτοις τοῖς πρέμνοις, καὶ ξύλοις περιλαβόντες, καὶ πανταχόθεν κυκλώσαντες πάσας τὰς γυναῖκας, ὅσαι τοῦτο τὸ παράνομον, καὶ τολμηρὸν πρᾶγμα ἐπεχείρησαν, καὶ μετῆλθον, μίαν πυρὰν σωρεύσαντες ταῖς ἡμετέραις χερσὶν ἐμπρήσωμεν. ὑπὸ ψήφου μιᾶς δὲ, ἀντὶ τοῦ, ὡς μιᾷ ψήφῳ πάσας ὑφ' ἡμῶν καταδικασθείσας. ὁμοφρόνως, ἐξ ἡμῶν ἁπάντων ὁμοφρονούντων μιᾶς, καὶ συμφώνου γνώμης. Τὴν Λύκωνος] θυγατέρα δηλαδὴ, ἢ γυναῖκα. ἴσως δὲ ἐστὶν ὁ Λύκων ἦν πατὴρ τῆς Λυσιστράτης, ἢ ἀνήρ. αὕτη γὰρ καὶ κάτω ἄνασσα πράγους τοῦδε, καὶ βουλεύματος καλεῖται. διὸ ὁ τῶν γερόντων χορὸς, ἀναιρήσειν αὐτὴν νῦν ἀπειλεῖ. ἀλλαχοῦ δὲ καὶ Λύκων Ἀθηναίων στρατηγός τις, ὃς αὐτοὺς προέδωκεν, ὡς μαρτυρεῖ Κτησίας ἐν ταῖς τῶν Περσικῶν ἐκλογαῖς, ὅπου λέγει, λαμβάνουσι δὲ οἱ τοῦ βασιλέως στρατηγοὶ χρήμασι Λύκωνα, καὶ τοὺς Ἕλληνας, καὶ ἀφιστῶσι Πισσούθνου. καὶ μετ' ὀλίγον, ἔλαβε δὲ Λύκων καὶ πόλεις, καὶ χώρας ὑπὲρ τῆς προδοσίας. ὡς ἂν τύχοι, εἰκός ἐστι τοῦτον τὸν Λύκωνα, εἴτε G αὐτοῦ τὴν θυγατέρα, ἢ γυναῖκα κατὰ τοὺς Ἀειστοφάνους χρόνους κακῶς ἀκηκοέναι, καὶ ἐνταῦθα κωμῳδεῖσθαι. ἐγχανοῦνται δὲ, ἀντὶ τοῦ ἐγχαίνουσαι καταγελάσουσιν ἡμῶν ἢ ἐγγελάσουσιν ἡμῖν. Κλεομένης] τούτου καὶ Ἡρόδοτος ἐν Τερψιχόρῃ οὕτω μνημονεύει. Ἀντιστασθείσης δὲ τῆς βουλῆς, καὶ οὐ βουλομένης πείθεσθαι, ὅ, τε Κλεομένης, καὶ ὁ Ἰσαγόρης, καὶ οἱ στασιῶται αὐτοῦ καταλαμβάνουσι τὴν ἀκρόπολιν. Ἀθηναίων δὲ οἱ λοιποὶ τὰ αὐτὰ φρονήσαντες ἐπολιόρκεον αὐτοὺς ἡμέρας δύο. τῇ δὲ τρίτῃ ὑπόσπονδοι ἐξέρχονται ἐκ τῆς χώρης, ὅσοι ἔσαν αὐτέων Λακεδαιμόνιοι. Ἀψάλακτος] ἀπαθὴς, ἀτιF μώρητος. ἀψάλακτον γὰρ τὸ ἄθικτον. παρὰ τὸ α στερητικὸν καὶ τὸ ψαλάσσειν, τὸ ψηλαφᾶν, καὶ ταῖς χερσὶν ἅπτεσθαι, θιγεῖν, ψαύειν. ἐν τοῖς ἄνω, ὥσπερ ἱερεῖον τοί μ' ὑποψαλάσσετε. Λακωνικὸν πνέων.] Λακωνικὸς, ὁ στερρὸς, ὁ ἀνδρεῖος. τοιοῦτοι γὰρ οἱ Λάκωνες. καὶ Λακωνικὸν πνέων, ἀντὶ τοῦ, ἰσχυρὸν, ἢ τὰ τῶν Λακώνων φρονῶν. Σ. ἄλλως. Λακωνικὸν πνέων, ἀντὶ τοῦ Λακωνικῶς μέγα φρονῶν. οἱ γὰρ Λάκωνες εἰς ἀνδρείαν μέγα ἐφρόνουν. καὶ Λακωνίζειν, τὸ μεγαφρονεῖν, καὶ ὀγκοῦσθαι. Παραδοὺς ἐμοί] ὁ χορὸς ὡς τὴν βουλὴν τῶν Ἀθηναίων, καὶ τὴν ὕπατον ἀρχὴν ἀνέχων, καὶ παραστὰς ταῦτα περὶ αὐτοῦ λέγει. ἡ γὰρ βουλὴ συνέκειτο ἐκ τῶν τῆς πόλεως πρεσβυτάτων, καὶ τιμιωτάτων ἀνδρῶν. τριβώνιον δὲ, πάλλιον, περιβόλαιον. Ἡσύχ. καὶ τριβώνιον, φόρημα κοινὸν, ἱμάτιον παλαιόν. Σ. ἀπαράτιλτος δὲ, δασὺς, ἄκοσμος τὰς τρίχας. Σ. παρατίλλειν, τὰς τρίχας τίλλειν. παρατιλμὸς, ὁ τῶν τριχῶν τιλμός. καὶ παράτιλλος, ὃς τὰς τρίχας παρατετιλμένας ἔχει. οὗ τοὐναντίον, ὁ ἀπαράτιλλος.